www.tezaurliturgic.ro

# ΝΟΕΜΒΡΙΟΥ ΙΑ΄.
# ΜΝΗΜΗΝ ΕΠΙΤΕΛΟΥΜΕΝ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΜΗΝΑ ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ.

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ.

**Ἱστῶμεν στίχους δ΄ καί ψάλλομεν τά ἑξῆς Προσόμοια.**
**Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.**

Οτε τήν στρατείαν τήν φθαρτήν, ἔρωτι πτερούμενος θείῳ, μάκαρ κατέλιπες, τότε ἠκολούθησας στερρῷ φρονήματι, τῷ τῶν ὅλων Δεσπόζοντι, Μηνᾶ Ἀθλοφόρε, κόσμου τήν τερπνότητα ἀπαρνησάμενος· ὅθεν τοῦ φωτός ἐν τοῖς ὅπλοις, σκότους τόν προστάτην καθεῖλες καί λαμπροῖς ἀγῶσιν ἠνδραγάθησας.

Οτε ὡμολόγησας Χριστόν, γλώττῃ θεοσόφῳ θεόφρον, ἐπί ἀπίστων κριτῶν, τότε ἐθριάμβευσας ἐχθρῶν τήν δύναμιν, καί τό κράτος ὑπέδειξας, τῆς θεοσεβείας, ἄθλοις τε καί θαύμασι, ὑπέρ ἡλίου αὐγάς, φαῖνον τοῖς ἐν σκότει κειμένοις, καί τούς καθορῶντας ἐκπλήττων, τοῖς ὑπερφυέσι σου παλαίσμασιν.

Οτε ἐδοξάσθης θαυμαστῶς, τῇ ἀπ' οὐρανῶν χορηγίᾳ, τῶν ὑπέρ νοῦν δωρεῶν, τότε τῶν θαυμάτων σου πᾶσιν ἐφήπλωσας, τάς ἀκτῖνας καί χάριτας· καί νῦν διασώζεις, πάντας τούς καλοῦντάς σε, πᾶσι φαινόμενος, ὕπαρ συμπαθῶς καί κατ' ὄναρ, καί ἑνί ἑκάστῳ βραβεύεις, ἔνδοξε Μηνᾶ τά καταθύμια.

Ωσπερ ἑωσφόρος φαεινός, λάμπων τῇ Χριστοῦ Ἐκκλησίᾳ, ἐν τῇ σῇ μνήμῃ σοφέ, ἔχεις συνανίσχοντας, ὡς ἄστρα πάμφωτα, τόν μακάριον Βίκτωρα, σύν τῷ Βικεντίῳ, Μηνᾶ παμμακάριστε, καί Στεφανίδα ὁμοῦ. Ὅθεν σύν αὐτοῖς ἐκδυσώπει, Μάρτυς τήν Ἁγίαν Τριάδα, σώζεσθαι ἡμᾶς ἐκ πάσης θλίψεως.

**Ἦχος β΄.**

Μαρτυρικῶς τελέσας τόν δρόμον σου, τῶν κατ' ἀξίαν βραβείων ἠξίωσαι, Μηνᾶ τρισόλβιε· τῶν γάρ παθῶν τοῦ Χριστοῦ κοινωνός ἐγένου, καί τῆς βασιλείας αὐτοῦ, κληρονόμος καί μέτοχος, ὡς Ἀθλητής ἀήττητος· καί νῦν θερμῶς ἱκέτευε, ὑπέρ τῶν τιμώντων σε.

**Καί νῦν. Θεοτοκίον.**

Τήν πᾶσαν ἐλπίδα μου, εἰς σέ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπό τήν σκέπην σου.

www.tezaurliturgic.ro

### ᾿Απόστιχα.

**῏Ηχος β΄. Οἶκος τοῦ ᾿Εφραθᾶ.**

Πλήρης θείου φωτός, αὐτόκλητος ἐπέστης, ἐν τῷ Σταδίῳ Μάρτυς, καί τοῦ Χριστοῦ τό μέγα, ὄνομα ὡμολόγησας.

**Στίχ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει...**

Ηνεγκας καρτερῶς, πληγάς τάς ἀνυποίστους, καί τοῦ ἐχθροῦ καθεῖλες, Μηνᾶ τῇ σῇ ἐνστάσει, εἰς τέλος τήν ἀπόνοιαν.

**Στίχ. Θαυμαστός ὁ Θεός ἐν τοῖς ἁγίοις αὐτοῦ.**

Πᾶσιν ἐπικουρεῖς, τοῖς σπεύδουσιν ἐν πίστει, ἐν τῷ ναῷ σου Μάρτυς, καί πολλαπλῶν κινδύνων, ἐξαίρεις τούς καλοῦντάς σε.

**Δόξα. Τριαδικόν.**

Αναρχε παντουργέ, Πάτερ Υἱέ καί Πνεῦμα, Τρισήλιε Θεότης, ἐλέησον τόν κόσμον, πρεσβείαις τοῦ σοῦ Μάρτυρος.

**Καί νῦν. Θεοτοκίον.**

Εφερες ἐν γαστρί, τόν Ποιητήν τῶν ὅλων, ἐκ σοῦ σωματωθέντα, καί τοῦτον Θεοτόκε, ὡς βρέφος ἐγαλούχησας.

**Νῦν ἀπολύεις, τό τρισάγιον, τό ᾿Απολυτίκιον ἐκ τοῦ Μεγάλου ῾Εσπερινοῦ καί ἀπόλυσις.**



www.tezaurliturgic.ro

ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ.

**Μετά τόν Προοιμιακόν, τό Μακάριος ἀνήρ. Εἰς δέ τό Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄. καί ψάλλομεν τά ἑξῆς Προσόμοια.**

**Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι**

Τῷ Χριστῷ στρατευσάμενος, παρετάξω στερρότατα, κατά τοῦ ἀλάστορος Μάρτυς ἔνδοξε καί τῇ γενναίᾳ ἀθλήσει σου, αὐτοῦ τά στρατεύματα, καθελών περιφανῶς, τοῦ Σωτῆρος τό ὄνομα ἐμεγάλυνας· διά τοῦτο Μηνᾶ Μεγαλομάρτυς, ἐκτελοῦμεν χαρμοσύνως, τήν εὐκλεῆ σου πανήγυριν.

Ὑπέρ φύσιν ἠγώνισαι, Ἀθλοφόρε πανθαύμαστε, καταπλήξας ἅπαντας τῇ ἀθλήσει σου· σύ γάρ ἀνδρείως ὑπέμεινας, ποικίλων στρεβλώσεων, ἀλγηδόνας χαλεπάς, τῶν βουνεύρων τάς μάστιγας, τήν κατάφλεξιν, τῶν ἁγίων μελῶν σου καί πᾶν εἶδος, τιμωρίας ἀνυποίστου· διό ἀξίως δεδόξασαι.

Ὡς πιστῶν ἀντιλήπτορα, καί θερμότατον πρόμαχον, ὡς ἀεί προφθάνοντα τούς καλοῦντάς σε, καί ἀναγκῶν ἐκλυτρούμενον, καί πάσης στενώσεως, καί κινδύνων χαλεπῶν, καί τοῖς πᾶσι βραβεύοντα, τά αἰτήματα, συνελθότες Μηνᾶ Μεγαλομάρτυς, κατά χρέος σε τιμῶμεν, ὁμολογοῦντες τήν χάριν σου.

**Προσόμοια ἕτερα. Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος!**

Πάθος Μηνᾶ ἐκμιμούμενος, τοῦ ἀπαθοῦς σεαυτόν, ὡς ἀρνίον παρέδωκας, πρός σφαγήν ἑκούσιον, Ἀθλοφόρε πανεύφημε· θυμόν ἀρχόντων οὐκ ἐδειλίασας· σαρκός αἰκίσεις οὐ κατενάρκησας. Ὢ τῶν ἀγώνων σου, καρτερᾶς ἐνστάσεως! δι᾽ ὧν πρός γῆν, Μάρτυς καταβέβληκας, τόν ὑπερήφανον.

Μάστιξι καταξαινόμενος, καί ἐπί ξύλου ὡς πρίν, ὁ Δεσπότης τεινόμενος, καί σιδήρῳ πάντοθεν, τάς πλευράς δαπανώμενος, οὐκ ἐξηρνήσω Χριστοῦ τό ὄνομα, πρός τοῦτον ἔχων ψυχῆς τά ὄμματα· ᾧ συντονώτατα, ἀτενίζων Ἅγιε, τά τῆς σαρκός, ἔφερες ἐπίπονα, Μηνᾶ μακάριε.

Μάρτυς Μηνᾶ πανaοίδιμε, σύ τήν τοῦ κόσμου ἀχλύν, καί στρατείαν ἐπίκηρον, καί εἰδώλων σκότωσιν, ἀσεβῶν τε συνέδρια, τῇ ἀγαπήσει Χριστοῦ κατέλιπες, στρατολογίᾳ συναριθμούμενος, τῶν ἐκλεκτῶν αὐτοῦ· ὅθεν καί ἀήττητος, παναληθῶς, Μάρτυς ἀναδέδειξαι, ὑπέρ αὐτοῦ ἐναθλῶν.

**Δόξα. Ἦχος πλ. β΄.**

Τόν Ἀθλοφόρον τοῦ Χριστοῦ, καί ἀρραγῆ ὁπλίτην, τό ῥεῖθρον τῶν θαυμάτων, καί εὐσεβῶν ἀρωγόν καί συλλήπτορα, ἐπαξίως ὦ θεόφρονες, ἐπινικίοις ὕμνοις, ὑμνήσωμεν λέγοντες· χαίροις ὁ τῶν παθῶν τοῦ Χριστοῦ, δι᾽ ἄθλων κοινωνήσας, καί τῆς δόξης αὐτοῦ, πλουτήσας τήν ἔλλαμψιν· χαίροις πυρσέ τηλαυγέστατε, ὁ τῇ αἴγλῃ τῶν θαυμάτων σου, διαλάμπων ἐν τοῖς πέρασι·

www.tezaurliturgic.ro

χαίροις τῶν ἀπορούντων ὁ μέγας ἀντιλήπτωρ, καί κινδυνευόντων ὀξύτατος προστάτης. Ἀλλ' ὦ Μηνᾶ καρτερόψυχε, μή παύσῃ πρεσβεύων Χριστῷ τῷ Θεῷ, σύν τοῖς συνάθλοις σου δεόμεθα, ὑπέρ ἡμῶν τῶν τελούντων, τήν ἁγίαν μνήμην σου.

**Καί νῦν. Ὁ αὐτός.**

Τίς μή μακαρίσει σε Παναγία Παρθένε, τίς μή ἀνυμνήσει σου τόν ἀλόχευτον τόκον; ὁ γάρ ἀχρόνως ἐκ Πατρός ἐκλάμψας Υἱός μονογενής, ὁ αὐτός ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεός ὑπάρχων, καί φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτόν ἱκέτευε, σεμνή παμμακάριστε, ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

**Εἴσοδος, Φῶς ἱλαρόν, τό Προκείμενον τῆς ἡμέρας, καί τά Ἀναγνώσματα.**

**Προφητείας Ἡσαΐου τό Ἀνάγνωσμα.**
**(Κεφ. μγ'. 9).**

Τάδε λέγει Κύριος: Πάντα τά ἔθνη συνήχθησαν ἅμα, καί συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἤ τά ἐξ ἀρχῆς, τίς ἀκουστά ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τούς μάρτυρας αὐτῶν καί δικαιωθήτωσαν καί εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καί ἐγώ μάρτυς λέγει Κύριος ὁ Θεός, καί ὁ παῖς μου, ὅν ἐξελεξάμην, ἵνα γνῶτε καί πιστεύσητε καί συνῆτε ὅτι ἐγώ εἰμί. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός καί μετ' ἐμέ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καί οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγώ ἀνήγγειλα καί ἔσωσα, ὠνείδισα καί οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοί μάρτυρες καί ἐγώ Κύριος ὁ Θεός· ἔτι ἀπ' ἀρχῆς ἐγώ εἰμί, καί οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καί τίς ἀποστρέψει αὐτό; Οὕτως λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ὑμᾶς, ὁ Ἅγιος τοῦ Ἰσραήλ.

**Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα.**
**(Κεφ. γ'.1).**

Δικαίων ψυχαί ἐν χειρί Θεοῦ, καί οὐ μή ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καί ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καί ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσίν ἐν εἰρήνῃ. Καί γάρ ἐν ὄψει ἀνθρώπων ἐάν κολασθῶσιν, ἡ ἐλπίς αὐτῶν ἀθανασία πλήρης. Καί ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεός ἐπείρασεν αὐτούς, καί εὗρεν αὐτούς ἀξίους ἑαυτοῦ. Ὡς χρυσόν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καί ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καί ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καί ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καί κρατήσουσι λαῶν, καί βασιλεύσει αὐτῶν Κύριος εἰς τούς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καί οἱ πιστοί ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καί ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καί ἐπισκοπή ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

**Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα.**
**(Κεφ. ε'15).**

Δίκαιοι εἰς τόν αἰῶνα ζῶσι, καί ἐν Κυρίῳ ὁ μισθός αὐτῶν, καί ἡ φροντίς αὐτῶν παρά Ὑψίστῳ. Διά τοῦτο λήψονται τό βασίλειον τῆς εὐπρεπείας, καί τό διάδημα τοῦ κάλλους ἐκ χειρός Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς καί τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τόν ζῆλον αὐτοῦ, καί ὁπλοποιήσει τήν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην καί περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δέ ἀπότομον ὀργήν εἰς ρομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπί τούς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καί ὡς ἀπό εὐκύκλου τόξου τῶν νεφῶν ἐπί σκοπόν ἁλοῦνται, καί ἐκ πετροβόλου θυμοῦ πλήρεις ριφήσονται χάλαζαι. Ἀ-

www.tezaurliturgic.ro

γανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης ποταμοί δέ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καί ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καί ἐρημώσει πᾶσαν τήν γῆν ἀνομία, καί ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς, καί σύνετε· μάθετε δικασταί περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καί γεγαυρωμένοι ἐπί ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρά Κυρίου ἡ κράτησίς ὑμῖν καί ἡ δυναστεία παρά Ὑψίστου.

**Εἰς τήν Λιτήν Ἰδιόμελα.**
**Ἦχος α΄.**

Τόν ἐν Μάρτυσι περίδοξον, καί μέγαν ἐν προστασίαις Μηνᾶν τόν ἀοίδιμον, πνευματικῶς τιμήσωμεν· τόν γάρ κάλλιστον τετέλεκεν ἀγῶνα, καί τοῦ Σωτῆρος τό ὄνομα, τό ὑπέρ πᾶν ὄνομα, οἰκείοις μέλεσιν ἐδόξασεν· ὅθεν εἰκότως δοξασθείς, παρά τοῦ πάντων Βασιλέως, παράδοξα ἐνεργεῖ ἐν τοῖς θαύμασι, καί τοῖς πᾶσιν ἐκφαίνει, τῶν ἐπηγγελμένων ἀγαθῶν τάς ἀξίας. Αὐτῶν καί ἡμᾶς ἀξίωσον, Υἱέ Θεοῦ μονογενές, ταῖς τοῦ Ἀθλητοῦ σου πρεσβείαις, τούς ἀκαταπαύστως βοῶντας· Κύριε δόξα σοι

**Ἦχος β΄.**

Τῆς ψυχῆς στομώσας τό φρόνημα, τῇ κεκρυμμένῃ ἐν Χριστῷ ζωῇ, πρός τό στάδιον αὐτόκλητος ὥρμησας, Μηνᾶ μακάριε· καί θαυμασταῖς ἀνδραγαθίαις, καί τροπαίοις ἀθλητικοῖς, τῆς μέν εὐσεβείας τό μυστήριον ἐκήρυξας, τῆς δέ ἀσεβείας τήν ἀπάτην κατῄσχυνας· καί τῇ στερρᾷ σου ἀθλήσει Μάρτυς, πρός αἶνον διεγείρεις Χριστοῦ, τούς ἀπαύστως βοῶντας· Κύριε δόξα σοι.

**Ἦχος γ΄.**

Τῶν σῶν ἀγώνων τά σκάμματα, πᾶσαν ἐκπλήττει ἔννοιαν, Ἀθλητά στερρότατε· τῶν δέ ἄθλων τά ἔπαθλα, καί τῶν θαυμάτων ἡ χάρις, εἰς πᾶσαν γῆν ἐξελήλυθε, καταλλήλως ἐνεργοῦσα τοῖς κάμνουσι· ὑπέρ φύσιν γάρ ἠγωνίσω, καί ὑπερφυῶς ἐμεγαλύνθης, παρά Χριστοῦ τοῦ ἀθλοθέτου σου. Τίς γάρ προστρέχων τῇ πρεσβείᾳ σου, καί οὐκ ἔτυχε τῆς σῆς ἀντιλήψεως; πᾶσι γάρ παρέχεις τά πρόσφορα, καί ἕτοιμος βοηθός εὑρίσκῃ Μηνᾶ τοῖς κράζουσι· Κύριε δόξα σοι.

**Ἦχος δ΄.**

Ἀθλητικήν συστησάμενοι χορείαν, Μηνᾶς ὁ ἔνδοξος, καί Βίκτωρ καί Βικέντιος σύν Στεφανίδι, τοῦ ὑπέρ Χριστοῦ μακαρίου πάθους, τάς μεγαλοπρεπεῖς ἀντιμισθίας, τῇ ἐπανθούσῃ ἐν αὐτοῖς ἀΰλῳ λαμπρότητι, διαυγάζουσι τῷ κόσμῳ· ἔξω κόσμου γάρ ἐγένοντο, τῇ ὁλικῇ πρός Θεόν ἀγαπήσει, καί τό φθαρτόν σῶμα ἠρνήσαντο, νομίμως ἀγωνισάμενοι. Ὅθεν τοῦ καρποῦ τῆς θεώσεως, ἐπιτηδείως μετέσχον, καί τῶν Ἀγγέλων συνόμιλοι ὤφθησαν· μεθ' ὧν καί πρεσβεύουσιν ἐκτενῶς, ὑπέρ τῶν βοώντων· Κύριε δόξα σοι.

**Δόξα. Ἦχος πλ. β΄.**

Δεῦτε πιστοί σήμερον, ἐνθέως ἀγαλλιώμενοι, θεοπρεπῶς ἑορτάσωμεν, καί τοῦ Χριστοῦ ὁπλίτην τόν ἔνδοξον, Μηνᾶν τόν στερρότατον, συμφώνως αἰνέσωμεν λέγοντες· χαίροις Ἀθλοφόρε περίδοξε, ὁ ἄθλοις γενναίοις Χριστόν μεγαλύνας· Χαίροις παραδόξων θαυμάτων ἄδυτον σέλας· χαίροις τῶν καλούντων σε θερμός ἀρωγός, καί ταχεῖα ἐν κινδύνοις βοήθεια. Πρέσβευε ἐκτενῶς, ὑπέρ ἡμῶν δυσωποῦμέν σε, δωρήσασθαι ἡμῖν τό μέγα ἔλεος.

**Καί νῦν. Θεοτοκίον.**

**Θεοτόκε σύ εἶ ἡ ἄμπελος...**

**Εἰς τόν Στίχον Στιχηρά Προσόμοια.**

**Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.**

Χαίροις Μεγαλομάρτυς Χριστοῦ, ὁ τοῖς μεγίστοις ὑπέρ πίστεως σκάμμασι, το

www.tezaurliturgic.ro

σφόδρα ἀντεχομένους, τῆς τῶν εἰδώλων τιμῆς, καταθριαμβεύσας θείᾳ χάριτι· ὁ πᾶσαν τήν ἔφεσιν, πρός Χριστόν μεταθέμενος, ὁ τῶν βασάνων, τό τραχύ καί ἐπίπονον, ὥσπερ ἄσαρκος, ἐνεγκών Μηνᾶ ἔνδοξε· ὅθεν καί τεθαυμάστωσαι, μεγίστοις ἐν θαύμασι, καί θαυμαστός κόσμῳ ὤφθης, ὡς βοηθός πάντων ἕτοιμος. Καί νῦν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τό μέγα ἔλεος.

**Στίχ. Θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις αὐτοῦ.**

Χαίροις τῶν Ἀθλητῶν καλλονή, τῆς Ἐκκλησίας ἀκατάσειστον ἔρεισμα, ὁ πᾶσαν καταπαλαίσας, τοῦ δυσμενοῦς τήν ὀρμήν, καί νίκης ἐγείρας μέγα τρόπαιον· ὀπλίτης περίδοξος, στρατιώτης ἀήττητος, τοῦ οὐρανίου, Βασιλέως μακάριε, ὁ ταχύτατος, ἀρωγός τῶν καλούντων σε· φύλαξ ὁ ἑτοιμότατος, καί ὅρμος ἀχείμαστος, τῶν ἐν πελάγει τοῦ βίου, χειμαζομένων ἑκάστοτε. Χριστόν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τό μέγα ἔλεος.

**Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν γῇ αὐτοῦ ἐθαυμάστωσεν...**

Μέγας τῶν εὐσεβῶν ἀρωγός, καί ἀντιλήπτωρ καί προστάτης καί πρόβολος, ἐδείχθης Μεγαλομάρτυς, τῇ σοί δοθείσῃ λαμπρῶς, παρά τοῦ Σωτῆρος θείᾳ χάριτι· διό τούς καλοῦντάς σε, ἐν κινδύνοις καί θλίψεσι, τάχος προφθάνεις, τῶν δεινῶν ἐξαιρούμενος, καί δωρούμενος, τοῖς αἰτοῦσι τά πρόσφορα· ὅθεν τήν παναγίαν σου, τελοῦμεν πανήγυριν, τούς εὐαγεῖς σου ἀγῶνας, ὕμνοις Μηνᾶ μεγαλύνοντες. Ἀλλ' ἀεί δυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τό μέγα ἔλεος.

**Δόξα. Ἦχος πλ. δ΄.**

Τίς ὑμνήσει εἰκότως, τῶν ἀγώνων σου τά τρόπαια; ἤ ποία γλῶσσα διηγήσεται, τῶν σῶν θαυμάτων τάς δωρεάς, Μηνᾶ πανεύφημε; οὐ μόνον γάρ ἐν ἄθλοις, ὑπερφυεῖς δυνάμεις ἐτέλεσας, ἀλλά καί μετά τέλος, ξενοπρεπῶς ἐνεργεῖς ἐν τοῖς θαύμασι· νοσοῦντας γάρ ἰᾶσαι, θανατωθέντας ζωοποιεῖς, καί πρός κρείττονα ζωήν παιδεύων, τοῖς πᾶσι βοηθός εὑρίσκῃ ἑτοιμότατος. Τί οὖν σε καλέσωμεν; Μαρτύρων ἀκροθίνιον, κινδυνευόντων ρύστην, παραδόξων ἔργων αὐτουργόν, ἤ θησαυρόν τῆς Χάριτος; Χριστός γάρ σε ἐδόξασεν, ὁ παρέχων διά σοῦ ἡμῖν τό μέγα ἔλεος.

**Καί νῦν. Θεοτοκίον.**

**Δέσποινα πρόσδεξαι...**

**Νῦν ἀπολύεις, τό τρισάγιον, καί τά Ἀπολυτίκια.**

**Ἦχος πλ. α΄. Τόν συνάναρχον Λόγον.**

Τούς μεγίστους ἀγῶνας τοῦ μαρτυρίου σου, καρτεροψύχως ἀνύσας Μεγαλομάρτυς Μηνᾶ, οὐρανίων δωρεῶν λαμπρῶς ἠξίωσαι, καί θαυμάτων αὐτουργός, ἐκ Θεοῦ ἀναδειχθείς, προστάτης ἡμῖν ἐδόθης, καί βοηθός ἐν ἀνάγκαις, καί ἀντιλήπτωρ ἐναργέστατος.

**Ἕτερον κοινόν τῶν τριῶν. Ἦχος δ΄.**

**Ταχύ προκατάλαβε.**

Τρισάριθμον σύνθημα τῶν ἀθλοφόρω[ν] Χριστοῦ, ὑμνήσωμεν ᾄσμασι χαριστ[ηρίοις] πιστοί. Μηνᾶν τόν ἀοίδιμον, Βίκτω[ρα] τόν γενναῖον, καί Βικέντιον Θεῖον, πλάν[ην] τήν τῶν εἰδώλων, καταργήσαντας πίστει, [...] τῶν ταῖς ἱκεσίαις Χριστέ, ὁ Θεός σῶσον [τάς] ψυχάς ἡμῶν.

**Τό ἀπ' αἰῶνος ἀπόκρυφον...**

**Ἀπόλυσις.**

www.tezaurliturgic.ro

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

**Μετά τήν α΄ Στιχολογίαν, Κάθισμα.**

**Ἦχος α΄. Τόν τάφον σου Σωτήρ.**

Στρατείαν γεηράν, νουνεχῶς καταλείψας, Χριστῷ τῷ Βασιλεῖ, ἐστρατεύσω τῶν ὅλων, καί χαίρων ἠνδραγάθησας, καί ἀξίως δεδόξασαι· ὅθεν σήμερον, τήν σήν πανένδοξον μνήμην, Μηνᾶ ἔνδοξε, ἐπιτελοῦντες ὑμνοῦμεν, τά θεῖά σου σκάμματα.

**Δόξα. Ὅμοιον.**

Τριάδα τήν σεπτήν, εὐσεβεῖ παρρησίᾳ, ἐκήρυξαν λαμπρῶς, καί καθεῖλον τήν πλάνην, Μηνᾶς καί Βικέντιος, Στεφανίς σύν τῷ Βίκτωρι· ὅθεν ἤθλησαν, καί τόν ἀρχέκακον ὄφιν, κατηκόντισαν, τῇ ἑαυτῶν καρτερίᾳ, ὡς φύλακες πίστεως.

**Καί νῦν. Θεοτοκίον.**

Τήν πάλαι ἐκπληρῶν, ὁ Ὑπέρθεος Λόγος, βουλήν ὡς ἀγαθός, ὑπέρ γένους ἀνθρώπων, ἐν μήτρᾳ σου ἐσκήνωσε, καί ἐκ σοῦ σάρκα ἔλαβε, καί γεγέννηται, διπλοῦς σοῦ ὡς οἶδεν· ὢ τοῦ θαύματος! τίς ἀνυμνήσει Παρθένε, τήν ἄρρητον δόξαν σου.

**Μετά τήν β΄ Στιχολογίαν, Κάθισμα.**

**Ἦχος δ΄. Ταχύ προκατάλαβε.**

Αὐτόκλητος ὥρμησας, ἐν τῷ σταδίῳ σοφέ, καί πάντας ἐξέπληξας, τῇ καρτερίᾳ τῇ σῇ, Μηνᾶ παμμακάριστε· ἤλεγξας γάρ τήν πλάνην, θεοσόφῳ σου λόγῳ, ἔδειξας δέ τήν χάριν, εὐσεβείας ἐν ἄθλοις· διό σε ὁ ἀθλοθέτης, Χριστός ἐμεγάλυνε.

**Δόξα. Ἦχος γ΄. Θείας πίστεως.**

Θείας πίστεως, τήν δυναστείαν, πᾶσαν ἔδειξαν, ἐν τοῖς ἀγῶσιν, ὁ Μηνᾶς σύν Βικεντίῳ καί Βίκτωρι· τοῦ γάρ Σωτῆρος τούς λόγους πληρώσαντες, ὑπερφυῶς παρ' αὐτοῦ ἐδοξάσθησαν· ὅθεν ἅπαντες, τιμῶντες αὐτῶν τήν ἄθλησιν, δοξάσωμεν Χριστόν τόν πολυέλεον.

**Καί νῦν. Θεοτοκίον.**

Θεόν ἔτεκες, ἀνερμηνεύτως, καί ἀνέτρεψας, τήν πάλαι λύπην, καί χαράν τῇ οἰκουμένῃ ἐπήγασας, Θεογεννῆτορ βροτῶν ἡ ἀνάκλησις, καί τῶν πταιόντων θερμόν ἱλαστήριον· ὅθεν ἅπαντες, ὑμνοῦμεν τά μεγαλεῖά σου, σῳζόμενοι Παρθένε τῇ πρεσβείᾳ σου.

**Μετά τόν Πολυέλεον, Κάθισμα.**

**Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.**

Κατεπλάγησαν σοφέ, τῶν δυσσεβούντων ἡ πληθύς, τήν στερρότητα τήν σήν, καί τήν ἀνδρείαν τῆς ψυχῆς, ὅτι ὡς ἄσαρκος ἔφερες τάς αἰκίας· ὅθεν ὁ Χριστός, σέ ἀμειβόμενος, θείαις δωρεαῖς, σέ κατεκόσμησε, καί θαυμαστόν τοῖς πᾶσί σε ἀνέδειξε, Μηνᾶ Μαρτύρων ἀγλάϊσμα· (μεθ' ὧν δυσώπει, ὑπέρ τῶν πίστει, ἐπιτελούντων τήν μνήμην σου.

www.tezaurliturgic.ro

**Δόξα, καί νῦν. Θεοτοκίον.**

Ὁ ἀόρατος Θεός, ἐκ τῶν αἱμάτων σου Ἁγνή, σαρκωθείς ὑπερφυῶς, δι' ἀγαθότητα πολλήν, συνανεστράφη τοῖς ἀνθρώποις ὁ Ζωοδότης, καί ἔσωσεν ἡμᾶς, ἐκ τῆς ἀρχαίας ἀρᾶς· διό σε ὡς καλῶν, αἰτίαν Ἄχραντε, ὑμνολογοῦμεν οἱ σωθέντες τῷ τόκῳ σου, καί μετά πόθου βοῶμέν σοι· χαῖρε Παρθένε, κατάρας λύσις, καί εὐλογίας ἀντίδοσις.

**Τό α΄ ἀντίφωνον τοῦ δ΄. ἤχου καί τό Προκείμενον.**

**Θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις αὐτοῦ.**

**Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ...**

**Εὐαγγέλιον τό ἐν τῷ ὄρθρῳ τοῦ Ἁγ. Γεωργίου.**

**Ὁ Ν΄. Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου...**

**Καί νῦν. Ταῖς τῆς Θεοτόκου...**

**Ἰδιόμελον. Ἦχος πλ. β΄.**

**Στίχ. Ἐλέησόν με ὁ Θεός κατά τό μέγα ἔλεός σου...**

Τῆς εὐσεβείας τελέσας τόν δόλιχον, καί τό βραβεῖον τῆς νίκης, παρά Χριστοῦ ἀναδησάμενος, Μηνᾶ πανόλβιε, τῆς σῆς ἐφέσεως ἔστης, τῶν ἐφετῶν καταλαβών τό ἔσχατον· διό σύν τοῖς συνάθλοις σου πρέσβευε, πάσης βλάβης ρύεσθαι ἡμᾶς δεόμεθα.

**Ὁ Ἱερεύς. Σῶσον ὁ Θεός τόν λαόν σου...**

**Εἶτα οἱ κανόνες, τῆς Θεοτόκου, τοῦ Ἁγίου ἐκ τοῦ Μηναίου, καί ἑξῆς οὗ ἡ ἀκροστιχίς.**

**«Μηνᾷ τῷ κλεινῷ Ἀθλοφόρῳ ᾄδω. Γερασίμου».**

**Ὠδή α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.**

Μαρτυρικαῖς ἠγλαϊσμένος χάρισι, τῷ φωτοδότῃ Θεῷ, σύν τοῖς συνάθλοις παρεστώς ὁλόφωτος, νοός μου τήν σκοτόμαιναν, διασκέδασον Μάρτυς, ταῖς φωτοβόλοις πρεσβείαις σου, ὕμνον σοι Μηνᾶ θεῖον ᾄδοντος.

Ἡλιακάς μαρμαρυγάς ἀστράπτουσα, τῆς σῆς ἀθλήσεως, ἡ φαιδρά ἡμέρα, κόσμῳ ἐπεδήμησε, θαυμάτων τε λαμπρότησι, τῶν παθῶν τήν ὁμίχλην, ὁλοσχερῶς διαλύουσα, καί χαράν ἡμῖν, πρυτανεύουσα.

Νόμῳ τῷ θείῳ νουνεχῶς πειθόμενος, νοΐ θεόφρονι, τήν στρατολογίαν, τήν φθαρτήν κατέλιπες, καί τοῦ Χριστοῦ τοῖς ἴχνεσιν, ἠκολούθησας χαίρων, τῆς εὐσεβείας γενόμενος, μάκαρ στρατιώτης περίδοξος.

**Θεοτοκίον.**

Ἀπειρογάμως τόν Χριστόν ἐκύησας, τόν δι' ἡμᾶς καθ' ἡμᾶς, σάρκα γεγονότα, μόνη Παντευλόγητε, καί ὅ ἦν διαμείναντα, ἀγαθότητος πλούτῳ, καί τῆς κατάρας ρυσάμενον, τούς σέ Θεοτόκον κηρύττοντας.

**Καταβασία. Ἀνοίξω τό στόμα μου...**

**Ὠδή γ΄. Ὁ στερεώσας κατ' ἀρχάς.**

Τῆς εὐσεβείας τῷ φωτί, πεπυρσευμένος θεόφρον, ἀσεβῶν τῆς κοινωνίας μακρύνεις, καί τήν ἔρημον οἰκῶν, πρός ἄθλησιν ἐγύμνασας, ψυχῆς σου τάς δυνάμεις, νηστείαις τε καί δεήσεσι.

Ὡς πτερωθείς τῇ τοῦ Χριστοῦ, τελειοτάτῃ ἀγάπῃ, καί φωτός ἐνδεδυμένος τά ὅπλα, προσεχώρησας στερρῶς, Μηνᾶ ἐπί τά σκάμματα, τοῦ μαρτυρίου Μάρτυς, καί τόν ἐχθρόν ἐθριάμβευσας.

www.tezaurliturgic.ro

Καταβαλών τόν δυσμενῆ, ἀθλητικῆ σου ἐνστάσει, διεξήλεγξας εἰδώλων τήν πλάνην· ὡς γάρ ἄσαρκος Μηνᾶ, στρεβλώσεις τάς τοῦ σώματος, ὑπήνεγκας ἀνδρείως, θείᾳ δυνάμει ρωννύμενος.

**Θεοτοκίον.**

Λελαμπρυσμένη καλλοναῖς, τῆς παναμώμου ἁγνείας, ὑπεδέξω τόν Ὑπέρθεον Λόγον, ἐν τῇ μήτρᾳ σου Ἁγνή, καί τοῦτον διπλοῦν τέτοκας, μιᾷ τῇ ὑποστάσει, Θεόν καί ἄνθρωπον Ἄχραντε.

**Καταβασία. Τούς σούς ὑμνολόγους...**

**Κάθισμα. Ἦχος πλ. δ΄. Τήν Σοφίαν καί Λόγον.**

Η τό πρίν ἀγνωσίας σκότει δεινῷ, κρατουμένη θεόφρον Μάρτυς Μηνᾶ, Αἴγυπτος ἀνέτειλε, σέ φωστῆρα παγκόσμιον, ἀθείας νύκτα, συντόνως ἐλαύνοντα, ταῖς βολίσι μάκαρ, τῶν θείων ἀγώνων σου· ὅθεν τήν φωσφόρον, καί σεπτήν σου ἡμέραν, φαιδρῶς ἑορτάζοντες, ἐκτενῶς σοι κραυγάζομεν, Ἀθλητῶν ἐγκαλλώπισμα. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τήν ἁγίαν μνήμην σου.

**Θεοτοκίον.**

Τόν Σωτῆρα τῶν ὅλων καί Ποιητήν, ἀπορρήτως τεκοῦσα μετά σαρκός, παρθένος διέμεινας, ὡς πρό τόκου πανάφθορος, καί τῆς φθορᾶς ἀπήλλαξας, Ἁγνή τό ἀνθρώπινον, τοῦ σοῦ Υἱοῦ καί Κτίστου, νεκρώσαντος θάνατον· ὅθεν τήν φθαρεῖσαν, ἁμαρτίαις ψυχήν μου, ζωῆς καθαρότητι, καινήν αὖθις ἀπέργασαι, δυσωπῶ σε Πανύμνητε, πρεσβεύουσα τῷ σῷ Υἱῷ καί Θεῷ, τῶν πταισμάτων δοῦναι μοι τήν ἄφεσιν, καί θερμῆς μετανοίας, τό πῦρ τό σωτήριον.

**Ὠδή δ΄. Σύ μου ἰσχύς.**

Επί κριτῶν, τῆς ἀσεβείας παρέστηκας, ἀπτοήτῳ, μάκαρ παραστήματι, καί τόν τῶν ὅλων Δημιουργόν, σάρκα γεγονότα, ὑπέρ ἡμῶν ἀγαθότητι, ἐκήρυξας εὐτόλμως, θεηγόρῳ σου γλώττῃ, καί βασάνων στερρῶς κατετόλμησας.

Ισχύν Μηνᾶ, περιζωσάμενος ἄμαχον, ἀσθενείᾳ, τῆς σαρκός κατήσχυνας, τάς ἐπινοίας τῶν δυσσεβῶν· ὅθεν τοῖς βουνεύροις, ἀνηλεῶς συγκοπτόμενος, κατέτρωσας καιρίως, τόν ἀρχέκακον ὄφιν, καί Χριστόν τόν Σωτῆρα ἐδόξασας.

Νοῦν ἀκλινῶς, τόν σόν ὑψώσας μετάρσιον, πρός τό κάλλος, Μάρτυς τό ἀμήχανον, ἤρθης ἐν ξύλῳ καρτερικῶς, καί ξεσμούς ὑπέστης, ἀκαταπλήκτῳ φρονήματι· ἐντεῦθεν ἀπεβάλου, τῆς φθορᾶς τόν χιτῶνα, καί στολήν ἀφθαρσίας ἐνδέδυσαι.

**Θεοτοκίον.**

Ως τόν Θεόν, ὑπερφυῶς σωματώσασα, καί παρθένος, μετά τόκον μείνασα, Θεοχαρίτωτε Μαριάμ, τῶν ἁμαρτανόντων, τό νοητόν ἱλαστήριον, σαρκός καί τῆς ψυχῆς μου, τήν ἀσθένειαν παῦσον, καί πταισμάτων τόν ρύπον μου κάθαρον.

**Καταβασία. Τήν ἀνεξιχνίαστον Θεῖαν βουλήν...**

**Ὠδή ε΄. Ἵνα τί με ἀπώσω;**

Αὐτοκλήτως ὁρμήσας, Μάρτυς πρός τό στάδιον τό τῆς ἀθλήσεως, παρρησίᾳ λόγων, καί ἀγώνων λαμπρῶν ἐπιδείξεσι, τῶν παρανομούντων, κατέπληξας τάς διανοίας, καί τήν ἔνθεον χάριν ἐτράνωσας.

Επί πλεῖον τάς ξέσεις, τῷ σεπτῷ σου σώματι προσάγων ἔνδοξε, ἐχθρός ὁ

www.tezaurliturgic.ro

διώκτης, ἔτι μᾶλλον ἀστράπτουσαν ἔδειξε, τήν ἐν σοί οἰκοῦσαν, καί συνεργοῦσαν σοι ἐν πᾶσι, θεοδώρητον χάριν καί δύναμιν.

Θείου ἔρωτος μάκαρ, φέρων ἐν καρδίᾳ τήν ἄϋλον, ἤνεγκας ἀνδρείως, ἡμαγμένων σαρκῶν σου τήν ἔκκαυσιν, τήν προσγινομένην, ὑπό λαμπάδων ἀνημμένων, καί ἀπάτης τήν ὕλην κατέφλεξας.

**Θεοτοκίον.**

Λύσιν δίδου πταισμάτων, μόνη Πανευλόγητε Θεοχαρίτωτε, Κεχαριτωμένη, τῷ οἰκτρῷ καί ἀχρείῳ ἱκέτῃ σου, καί τόν σκοτασμόν μου, διάλυσον τῆς διανοίας, καί πρός φῶς μετανοίας με ἴθυνον.

**Καταβασία. Ἐξέστη τά σύμπαντα...**

**Ὠδή στ΄. Ἱλάσθητί μοι Σωτήρ.**

Ὁ τοῦ Χριστοῦ Ἀθλητής, καί στρατιώτης ἀήττητος, ὁ μέγας τῶν εὐσεβῶν, προστάτης καί ἔφορος, ὑμνείσθω ἐν ᾄσμασι, Μηνᾶς ὁ θεόφρων, ὁ θαυμάτων βλύζων χάριτας.

Φωστήρ ἐδείχθης λαμπρός, ἐν Ἀθληταῖς Μηνᾶ ἔνδοξε, θαυμάτων λαμπαδουχῶν, δωρεάν τοῖς πέρασι, καί νέφη τῶν θλίψεων, καί κινδύνων νύκτα, διαλύων τῇ σῇ χάριτι.

Ὀδύνας τάς χαλεπάς, ἐπί τριβόλων συρόμενος, ἐνέγκας καρτερικῶς, ὥσπερ ἄλλου πάσχοντος, τά κέντρα συνέτριψας, τοῦ δεινοῦ Βελίαρ, καί λαμπρῶς Μηνᾶ δεδόξασαι.

**Θεοτοκίον.**

Ρυσθείην τῆς τοῦ ἐχθροῦ, αἰχμαλωσίας τῆς χείρονος, τῆς συμπαθείας τῆς σῆς, Παρθένε χρηστότητι· σύ γάρ μου βοήθεια, καί ἐν σοί ἐλπίζω, ὁ προστρέχων τῇ σῇ χάριτι.

**Καταβασία. Τήν θείαν ταύτην...**

**Κοντάκιον. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.**

Τῆς στρατείας ἥρπασε τῆς ἐπικήρου, καί ἀφθάρτου ἔδειξε, σέ Ἀθλοφόρε κοινωνόν, Μηνᾶ Χριστός ὁ Θεός ἡμῶν, ὁ τῶν Μαρτύρων ἀκήρατος στέφανος.

**Ὁ Οἶκος.**

Μεγάλης πρόξενος ἡμῖν, ὑπάρχει θυμηδίας, ἡ μνήμη τῶν Μαρτύρων, κατά παθῶν ἀνδρείαν καί ἀριστείαν κατ᾽ ἐχθρῶν ἐπιδεικνυμένη, ἐν φαιδρᾷ καί προσηνεῖ ὁμολογίας χάριτι. Δεῦτε οὖν ἐν ταύτῃ φιλέορτοι πάντες εὐφρανθῶμεν, τῆς προσκαίρου εὐφροσύνης τήν κρείττονα καί τελεωτέραν, Μηνᾶ τοῦ Ἀθλητοῦ τήν μνήμην τελοῦντες, καί λαμβάνοντες παθῶν δῶρον τήν λύσιν· τούτων δέ δοτήρ, Χριστός ὁ Θεός ὑπάρχει, ὁ τῶν Μαρτύρων ἀκήρατος στέφανος.

**Συναξάριον.**

**Τῇ ια΄ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ἁγίου ἐνδόξου Μεγαλομάρτυρος Μηνᾶ τοῦ θαυματουργοῦ, τοῦ ἐν τῷ Κοτυαίῳ.**

**Στίχ. Αἴγυπτος ὄντως, εἰ τέκοι, τίκτει μέγα.**

**Τμηθείς ἀληθές τοῦτο Μηνᾶς δεικνύει.**

**Μηνᾶς ἑνδεκάτῃ ἔτλη ξίφος γηθόσυνος κήρ.**

Οὗτος ἐξ Αἰγύπτου ἀνατείλας, ἦν ἐπί τῆ[ς] βασιλείας Μαξιμιανοῦ, στρατευόμενο[ς] ἐν τοῖς Γουμέροις (στρατιωτικοῖς τάγμασι) τοῖς λεγομένοις Ρουταλικοῖς, ὑπ᾽ Ἀργυρ[ί]σκῳ ἡγεμόνι, ἐν τῷ Κυτυαείῳ, ἤ Κοτυαί[ῳ] Φρυγίας Σαλουταρίας (ὑγιεινῆς). Μή ἀνεχ[ό]μενος δέ καθορᾶν τήν εἰδώλων πλάνην πα[...]

www.tezaurliturgic.ro

ρησιαζομένην, εἰς τό ὄρος ἀνῆλθε, νηστείαις ἑαυτόν καθαίρων καί προσευχαῖς. Ἱκανῶς δέ στομώσας ἑαυτόν, καί τῷ θείῳ πόθῳ τοῦ Χριστοῦ τήν ψυχήν ἀναφλέξας, ἐκ τοῦ ὄρους κατῆλθε. Καί στάς ἐν μέσῳ τῶν εἰδωλολατρῶν, τόν Χριστόν ἀνεκήρυξεν. Ὅθεν αἰκισθείς, καί τριχίνοις ὑφάσμασι τάς σάρκας καταξανθείς, καί καυτῆρσι προσομιλήσας πυρός, καί τριβόλοις ἐν τῷ ἀφειδῶς ἕλκεσθαι, ἅπαν τό σῶμα διαλωβηθείς, τήν διά ξίφους δέχεται τελευτήν, πλείστων παραδόξων θαυμάτων αὐτουργός δεικνύμενος, καί μέγας προστάτης καί βοηθός τῶν ἐν κινδύνοις καί θλίψεσι καί ἀνάγκαις φαινόμενος, πιστῶς ἐπικαλουμένοις τό ἅγιον αὐτοῦ ὄνομα, ὡς ἐν ἐκτάσει διέξεισιν ἡ κατ' αὐτόν Ἱστορία.

**Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ἁγίου Μάρτυρος Βίκτωρος.**

**Στίχ. Οὐ δειλιῶν ἦν οὐδέ Βίκτωρ πρός ξίφος**
**Πᾶσαν μακράν που καρδίας θείς δειλίαν.**

**Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ἁγίου Μάρτυρος Βικεντίου τοῦ Διακόνου.**

**Στίχ. Βληθείς ὁ Βικέντιος ἐν φρουρᾷ φέρει**
**Λυθείς δέ φρουρᾶς σαρκικῆς ἄνω τρέχει.**

**Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς Ἁγίας Μάρτυρος Στεφανίδος.**

**Στίχ. Δένδροις Στεφανίς προσδεθεῖσα φοινίκων**
**Τῶν Μαρτύρων ἤνθησεν ὡς Φοῖνιξ μέσον.**

**Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ἁγίου Πατρός ἡμῶν Θεοδώρου, Ἡγουμένου Στουδίου, τοῦ Ὁμολογητοῦ.**

**Στίχ. Πολλάς ἀμοιβάς Θεόδωρε τρισμάκαρ**
**Βίου μεταστάς, ὡς εὖ βιούς προσδόκα.**

**Ταῖς αὐτῶν πρεσβείαις Χριστέ ὁ Θεός ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν.**

**Ὠδή ζ΄. Θεοῦ συγκατάβασιν.**

Ὡς ἄκμων ἀνάλωτος, ταῖς πολυτρόποις ὤφθης στρεβλώσεσι, καί τάς στρέβλας τῆς πλάνης, καί τοῦ δολίου τά μηχανήματα, τῇ σῇ ἐνστάσει καθεῖλες καί ἔψαλλες· Εὐλογητός ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ἀκτίσι τῶν ἄθλων σου, τῆς εὐσεβείας τό φῶς ἐξέφηνας, καί ροαῖς τῶν αἱμάτων, τῆς ἀσεβείας τό πῦρ κατέσβεσας· νῦν δέ πυρσεύεις ἡμᾶς τοῖς σοῖς θαύμασι, καί δωρεαῖς μυστικαῖς, θαυματοφόρε Μηνᾶ.

Δυνάμει τῇ κρείττονι, ὡς στρατιώτης τῷ πανδοχεῖ ἐπιστάς, ὡς ἐξ ὕπνου ἐγείρεις, τόν παρ' αὐτοῦ φονευθέντα πικρῶς, καί τοῦτον ψάλλειν Μηνᾶ ἐξεπαίδευσας· Εὐλογητός εἶ Χριστέ, ὁ τῶν ἁπάντων Θεός.

**Θεοτοκίον.**

Ὡς θρόνος πυρίμορφος, τόν Βασιλέα φέρεις τῆς κτίσεως, καί ὡς βρέφος συνέχεις, τόν τῇ παλάμῃ πάντα συνέχοντα, Θεοχαρίτωτε Κόρη Πανάμωμε· διό χειρός τῆς πικρᾶς, ἐχθροῦ με λύτρωσαι.

**Καταβασία. Οὐκ ἐλάτρευσαν...**

**Ὠδή η΄. Τόν ἐν ὄρει ἁγίῳ.**

Γενναιότητι Μάρτυς ἀνενδότῳ, τόν ἀγῶνα τόν σόν, διήνυσας προθύμως, καί τῇ τοῦ ξίφους ἐκτομῇ ἀνέδραμες, πρός τόν ἀθλοθέτην, παρ' οὗ τῶν σῶν καμάτων, ἐδέξω τά βραβεῖα.

Ἐκτριβόμενος ράκεσι τριχίνοις, καί λαμπάσι πυρός, φλεγόμενος παμμάκαρ, τό ἡμαγμένον σῶμα καί κατάστικτον, ξέσεσιν ἀτρύτοις, ὕμνεις τόν Σωτῆρα, τόν σέ λαμπρῶς ρωννῦντα.

www.tezaurliturgic.ro

Ρείθροις Μάρτυς τῶν θείων σου αἱμάτων, τήν σεπτήν τοῦ Χριστοῦ, ἀρδεύεις Ἐκκλησίαν· ἀποτμηθείς γάρ μάκαρ ἀνελήλυθας, πρός τάς ὑπέρ λόγον, θείας ἀπολαύσεις, ὡς Μάρτυς νικηφόρος.

**Θεοτοκίον.**

Ἀειπάρθενε Κόρη Θεοτόκε, τοῦ ἀδύτου φωτός, ὑπέρλαμπρον δοχεῖον, τῇ θεαυγεῖ λαμπρότητι τῆς δόξης σου, τήν ἐσκοτισμένην, φώτισον ψυχήν μου, καί σῶσόν με Παρθένε.

**Καταβασία. Παῖδας εὐαγεῖς...**

**Ὠδή θ΄. Ἐξέστη ἐπί τούτῳ.**

Στεφάνῳ ἀφθαρσίας καλλωπισθείς, τῆς ζωῆς τῆς ἀγήρω ἠξίωσαι, Μάρτυς Μηνᾶ, ὡς καταπαλαίσας τόν δυσμενῆ, καί τοῖς οἰκείοις μέλεσι, τόν Χριστόν δοξάσας ἀθλητικῶς· ᾧ πρέσβευε σωθῆναι, τούς σέ διαφερόντως, ζέοντι πόθῳ μακαρίζοντας.

Ἱλέῳ σου ἐν ὄμματι Ἀθλητά, τοῖς φωνοῦσι τήν κλῆσιν σου πάντοτε, ἀπό ψυχῆς, νέμεις τά αἰτήματα συμπαθῶς, καί τῶν κρυπτῶν φανέρωσιν, καί ἀπολεσθέντων δηλοποιεῖς. Διό σε ὡς προστάτην, ἡμῶν καί προμηθέα, ἀκαταπαύστως μεγαλύνομεν.

Μεγάλως ἐδοξάσθης παρά Χριστοῦ, ὑπέρ οὗ τό σόν αἷμα ἐξέχεας, ἄθλοις στερροῖς, μάκαρ διαθλήσας ὑπερφυῶς· ἔνθεν προφθάνεις ἅπαντας, τούς ἐν τοῖς κινδύνοις καί συμφοραῖς, καί σώζεις ἐν ἀνάγκαις, καί θλίψεσι παντοίαις, τούς ἀδοκήτως περιπίπτοντας.

Ὁ πάνσεπτός σου οἶκος καί εὐαγής, ὡς λιμήν καθορᾶται ἀχείμαστος, ὡς ἀληθῶς, ἔνθα καταφεύγοντας Ἀθλητά, πάσης ὀργῆς λυτρούμεθα, καί τῶν ἐν τῷ βίῳ τρικυμιῶν· ἀλλά κἀμοῦ τόν ὕμνον, ὡς δῶρον Μάρτυς δέξαι, καί βοηθός μοι ἔσο πάντοτε.

**Θεοτοκίον.**

Ὑψίστου ἐνδιαίτημα λογικόν, φαεινότατον ἔμπνουν παλάτιον, θεῖε ναέ, σκήνωμα περίδοξον καί λαμπρόν, τοῦ Ποιητοῦ τῆς κτίσεως, τοῦ σωματωθέντος ἐκ σῆς γαστρός, Παρθένε Θεοτόκε, τῆς ἄνω βασιλείας, ἡμᾶς ἀξίωσον δεόμεθα.

**Καταβασία. Ἅπας γηγενής...**

**Ἐξαποστειλάριον. Ὁ οὐρανόν τοῖς ἄστροις.**

Ὁ τοῦ ἐχθροῦ τήν πλάνην, καταβαλών μαρτυρικῶς, Χριστόν τόν πάντων Δεσπότην, ἐδόξασας περιφανῶς, Μηνᾶ Μαρτύρων ἀκρότης· διό σε πάντες τιμῶμεν.

**Θεοτοκίον.**

Ἐν σοί Πανάχραντε Κόρη, ἐθεωρήθησαν ὄντως, αἱ τοῦ Κυρίου πορεῖαι, καί τούς βροτούς ὁδηγοῦσιν, ἔνθα Ἀγγέλων χορεῖαι, καί πάντων Ἁγίων δῆμοι.

**Εἰς τούς Αἴνους.**

**Ἱστῶμεν στίχους δ΄ καί ψάλλομεν τά ἑξῆς Προσόμοια.**

**Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.**

Τόν εὐκλεῆ τοῦ Σωτῆρος Μεγαλομάρτυρα, Μηνᾶν τόν ἀριστέα, εὐσεβείας τῶν ἄθλων, ὑμνήσωμεν συμφώνως ᾀσμάτων ᾠδαῖς, πρός αὐτόν ἀνακράζοντες· Μή διαλίπῃς πρεσβεύειν ὑπέρ ἡμῶν, Ἀθλοφόρε τῶν τιμώντων σε.

Ἐν τῷ σταδίῳ ἐπέστης μάκαρ αὐτόκλητος, καί τήν ὁμολογίαν, τοῦ Χριστοῦ τήν ἁγίαν, ἐνώπιον τυράννων καί δικαστῶν, ὡμο-

www.tezaurliturgic.ro

λόγησας ἔνδοξε, καί ἐναθλήσας νομίμως Μάρτυς Μηνᾶ, κατ' ἀξίαν τεθαυμάστωσαι.

Τήν δωρεάν τῶν θαυμάτων λαμπρῶς δεξάμενος, θαυματουργεῖς ἐν κόσμῳ, παραδόξως θεόφρον, καί πάντων τάς αἰτήσεις πληροῖς εὐμενῶς, καί ἐξαίρεις ἑκάστοτε, ἐξ ἀναγκῶν καί κινδύνων Μάρτυς Μηνᾶ, τῇ ταχείᾳ ἀντιλήψει σου.

Τούς κοινωνούς τῆς σῆς δόξης οἷα συμμάρτυρας, Βίκτωρα Στεφανίδα, καί Βικέντιον ἅμα, παράλαβε προθύμως Μηνᾶ θαυμαστέ, καί πρεσβείαν ποιήσατε, ὑπέρ ἡμῶν πρός τόν πάντων Δημιουργόν, ὡς αὐτοῦ θεῖοι θεράποντες.

**Δόξα. Ἦχος πλ. α΄.**

Ὁ συνάναρχος καί συναΐδιος, Υἱός καί Λόγος τοῦ Θεοῦ, ἐν Εὐαγγελίοις ἔφη· Ὅστις με ἐνώπιον ὁμολογήσει τῶν ἀνθρώπων, κἀγώ αὐτόν ἔμπροσθεν, Πατρός μου τοῦ ἐπουρανίου· τοῦτο οἱ ἔνδοξοι Μάρτυρες, Μηνᾶς σύν τοῖς συνάθλοις, τοῖς ἔργοις ἐπλήρωσαν· τό γάρ σωτήριον τοῦ Σωτῆρος ὄνομα, ἐν ὄψεσι τυράννων, καί βασιλέων ὡμολόγησαν· ὑπέρ οὗ καί ἀθλήσαντες τῆς ἐπηγγελμένης δόξης ἠξιώθησαν. Ἀλλ' ὦ Μηνᾶ μακάριε, σύν τοῖς συναθληταῖς σου, πρέσβευε ὑπέρ τῶν ψυχῶν ἡμῶν.

**Καί νῦν. Θεοτοκίον.**

**Μακαρίζομέν σε Θεοτόκε Παρθένε...**

**Δοξολογία μεγάλη καί ἀπόλυσις.**

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τά τυπικά, οἱ Μακαρισμοί, καί ἐκ τοῦ κανόνος τοῦ Ἁγίου ἡ γ΄. καί στ΄. ᾠδή, Ἀπόστολον τόν ἐν τῷ Μηνολογίῳ, Εὐαγγέλιον τῆς κγ΄. Ἀπριλίου, τοῦ Ἁγίου Γεωργίου.

**Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον...**

**Μεγαλυνάριον.**

Φύλαξ καί θερμότατος ἀρωγός, πέλων Ἀθλοφόρε, τῶν καλούντων σε ἐν παντί, πλήρου τάς αἰτήσεις, Μηνᾶ θαυματοβρύτα, τῶν πόθῳ ἐκζητούντων, τήν σήν ἀντίληψιν.

**Ἕτερον κοινόν τῶν τριῶν.**

Ὕμνοις φιλομάρτυρες ἱεροῖς, Μηνᾶν τόν γενναῖον, καί τόν Βίκτωρα τόν στερρόν, σύν τῷ Βικεντίῳ, καί Στεφανίδι ἅμα, ὡς ἀριστεῖς τοῦ Λόγου, ἐγκωμιάσωμεν.

**Δίστιχον.**

Πλήρου ὦ Μηνᾶ φωνάς τάς ἱκεσίους
Ἅς σοι Γεράσιμος θερμῶς ἀναπέμπει.

www.tezaurliturgic.ro

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ ΜΗΝΑΝ ΤΟΝ ΘΑΥΜΑΤΟΥΡΓΟΝ

**Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου**

Εὐλογήσαντος τοῦ Ἱερέως, τό Κύριε εἰσάκουσον, μεθ' ὅ τό Θεός Κύριος ὡς συνήθως καί τό ἑξῆς:

**Ἦχος δ΄. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.**

Τήν τῶν θαυμάτων δωρεάν κεκτημένος, θαυματουργίαις διαπρέπεις ποικίλαις,Μεγαλομάρτυς ἔνδοξε Μηνᾶ θαυμαστέ· ὅθεν τούς προστρέχοντας, τῇ θερμῇ ἀρωγῇ σου, πάσης ἀπολύτρωσαι, ἐπηρείας καί βλάβης, καί εἰρηναίαν δώρησαι ζωήν, ταῖς πρός Θεόν ἱκεσίαις σου Ἅγιε.

**Δόξα. Τό αὐτό. Καί νῦν. Θεοτοκίον.**

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τάς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰ μή γάρ σύ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο, ἐκ τοσούτων κινδύνων; τίς δέ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σούς γάρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

**Ὁ Ν΄ ψαλμός καί ὁ κανών οὗ ἡ ἀκροστιχίς.**

**«Φύλαξ ἡμῖν ἔσο Μηνᾶ Ἀθλοφόρε. Γερασίμου».**

**Ὠδή α΄. Ἦχος πλ. δ΄. Ὑγράν διοδεύσας.**

Φρουρῶν μή ἐλλίπης καί συντηρῶν, τῇ σῇ προστασίᾳ, ἀπό πάσης ἐπιβουλῆς, καί βλάβης ἐχθροῦ τοῦ βροτοκτόνου, Μεγαλομάρτυς Μηνᾶ τούς τιμῶντάς σε.

Ὑψόθεν ἐπίβλεψον εὐμενῶς, Μηνᾶ Ἀθλοφόρε, ὡς προστάτης ἡμῶν θερμός, καί δέξαι ἡμῶν τάς ἱκεσίας, καί τά αἰτήματα πλήρωσον Ἅγιε.

Λεόντων τάς μύλας τῶν νοητῶν, ὀδύνας καί πόνους, ἀπειλούντων ἡμῖν ἀεί, σύντριψον Μηνᾶ τῇ σῇ πρεσβείᾳ καί ἀσινεῖς ἡμᾶς φύλαττε πάντοτε.

**Θεοτοκίον.**

Ἁγνόν με καί σώματι καί ψυχῇ, καί πάσῃ αἰσθήσει, διατήρει Μῆτερ Θεοῦ, καί δίδου μοι ἄφεσιν πταισμάτων, τῇ πρός Χριστόν μητρικῇ παρρησίᾳ σου.

**Ὠδή γ΄. Οὐρανίας ἁψῖδος.**

Ξενοτρόπων θαυμάτων, τάς δωρεάς πάντοτε, βλύζων σου ὁ ἅγιος οἶκος,

www.tezaurliturgic.ro

Πνεύματος χάριτι, παύει νοσήματα, καί χαλεπάς ἀλγηδόνας, καί παρέχει ἅπασι, χάριν καί ἔλεος.

Ηδοθεῖσα σοι χάρις, παρά Θεοῦ Ἅγιε, ὑπέρ τάς αὐγάς τοῦ ἡλίου, ἐναπαστράπτουσα,νύκτα τῶν θλίψεων, καί πειρασμῶν σκοτομήνην, διαλύει τάχιστα, τῶν προσιόντων σοι.

Μέγας πέλων προστάτης, καί βοηθός ἕτοιμος, τῶν περιπιπτόντων κινδύνοις καί περιστάσεσι, βοήθει πάντοτε, τῇ σῇ θερμῇ ἀντιλήψει, Μηνᾶ παμμακάριστε, τοῖς σοί προστρέχουσι.

**Θεοτοκίον.**

Ιλασμόν τῶν πταισμάτων, καί τῶν παθῶν λύτρωσιν, καί τῇ ῥαθυμούσῃ ψυχῇ μου, θείαν ἐγρήγορσιν, παράσχου Δέσποινα, οἷα πηγή τοῦ ἐλέους, καί πρός μετανοίας με, ὁδόν ὁδήγησον.

Διάσωσον Μεγαλομάρτυς Κυρίου Μηνᾶ θεόφρον, πάσης νόσου καί πειρασμῶν τε καί θλίψεων τούς ἀδιστάκτως προστρέχοντας τῇ σῇ σκέπῃ.

**Ἐπίβλεψον ἐν εὐμενείᾳ...**

**Αἴτησις καί τό Κάθισμα.**

**Ἦχος β΄. Πρεσβεία θερμή.**

Τήν σήν ἀρωγήν, ἀεί ἐπιβοώμενοι, κινδύνων πολλῶν, καί θλίψεων λυτρούμεθα· σύ γάρ προστάτης ἔνθεος, καί θερμός ἀνεδείχθης ὑπέρμαχος, τοῖς εὐσεβέσι Μηνᾶ θαυμαστέ, βραβεύων τοῖς πᾶσι τά σωτήρια.

**Ὠδή δ΄. Εἰσακήκοα Κύριε.**

Νοσημάτων ἀπάλλαξον, τῇ σῇ θερμοτάτῃ πρεσβείᾳ Ἅγιε, καί ποικίλων περιστάσεων, τούς εἰλικρινῶς σε μακαρίζοντας.

Εν ὀδύνῃ με κείμενον, φάνηθι καί ἴασαι Μηνᾶ ἔνδοξε, καί τό ἄλγος τῆς καρδίας μου, τῇ σῇ μεταποίησον χρηστότητι.

Συμπαθῶς ἐπικλώμενος, ἅπαντας προφθάνεις τούς κινδυνεύοντας, καί βραβεύεις τά αἰτήματα, τοῖς θερμῶς φοιτῶσι τῷ τεμένει σου.

**Θεοτοκίον.**

Ο τοῖς πᾶσιν ἀχώρητος, ἐν τῇ σῇ νηδύϊ χωρεῖται Ἄχραντε, τόν Ἀδάμ ἀνακαλούμενος, πρός τήν πρώτην εὔκλειαν ὡς εὔσπλαγχνος.

**Ὠδή ε΄. Φώτισον ἡμᾶς.**

Μόνον ὡς φωνῶ, τήν ἁγίαν Μηνᾶ κλῆσίν σου, ἐπελθόντων ἐκλυτροῦμαι δυσχερῶν· διά τοῦτό σε προστάτην ἐπιγράφομαι.

Ηθλησας στερρῶς, καί ἐκπλήττεις τοῖς σοῖς θαύμασι, τούς τήν σήν αἰτοῦντας Μάρτυς ἀρωγήν, καί ἐξαίρεις συνοχῆς πικρᾶς τούς πάσχοντας.

Νέκρωσον ἐχθρῶν, τῶν ἀσάρκων τά βουλεύματα, καθ᾿ ἡμῶν ὠρυομένων ἀναιδῶς, καί εἰρήνην ἡμῖν αἴτει ἀστασίαστον.

**Θεοτοκίον.**

Ανωθεν ἡμᾶς, ἐποπτεύοις Κόρη ἵλεως, διαλύουσα ἐχθροῦ τάς προσβολάς, καί παράσχου τήν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

**Ὠδή στ΄. Τήν δέησιν.**

Ακύμαντον, Ἀθλητά καί ἄκλυστον, τόν ναόν σου ἐφευρόντες λιμένα, οἱ χειμαζόμενοι σάλῳ τοῦ βίου, θερμῶς ἐν τούτῳ προστρέχομεν Ἅγιε, καί πάσης ζάλης καί ὀργῆς, ἐκλυτρούμεθα τῇ ἀντιλήψει σου.

www.tezaurliturgic.ro

Θεράπευσον, συμπαθεῖ ἐντεύξει σου, τήν δεινῶς με κατασχοῦσαν ὀδύνην, καί τῆς ψυχῆς μου τόν τάραχον παῦσον, καί τῆς καρδίας τήν λύπην ἀφάνισον, Μάρτυς Μηνᾶ θαυματουργέ, καί Θεῷ με οἰκείωσαι δέομαι.

Λυτρούμενος, ἀναγκῶν καί θλίψεων, καί δεινῶν ἐπηρειῶν καί κινδύνων, καί δυσπραγίας ἁπάσης καί βλάβης, καί χαλεπῶν περιστάσεων πάντοτε, μή διαλίπῃς Ἀθλητά, τούς πιστῶς τῇ πρεσβείᾳ σου σπεύδοντας.

**Θεοτοκίον.**

Ὁλόσωμον, τήν πληγήν ὁ δείλαιος, τῇ τοῦ πλάνου δεδεγμένος μανίᾳ, κεῖμαι ἡμίθνητος Κόρη ἐκτάδην· ἀλλά τῇ με χρηστότητι ζώωσον, καί ρύθμισόν μου τήν ζωήν, προσταγαῖς τοῦ ἐκ σοῦ ἀνατείλαντος.

Διάσωσον Μεγαλομάρτυς Κυρίου Μηνᾶ θεόφρον, πάσης νόσου καί πειρασμῶν τε καί θλίψεων, τούς ἀδιστάκτως προστρέχοντας τῇ σῇ σκέπῃ.

**Ἄχραντε ἡ διά λόγου...**

**Αἴτησις καί τό Κοντάκιον.**

**Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.**

Ταῖς τῶν θαυμάτων σου θείαις ἐλλάμψεσι, τῶν παθημάτων διώκεις σκοτόμαιναν, καί νέμεις ὑγείαν καί λύτρωσιν, καί ὀξυτάτην βοήθειαν πάντοτε, Μηνᾶ τοῖς τελοῦσιν ἐν θλίψεσι.

**Προκείμενον.**

**Θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις αὐτοῦ.**

**Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ...**

**Εὐαγγέλιον. Ἐκ τοῦ κατά Λουκᾶν.**

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Προσέχετε ἀπό τῶν ἀνθρώπων· ἐπιβαλοῦσιν γάρ ἐφ' ὑμᾶς τάς χεῖρας αὐτῶν καί διώξουσι, παραδιδόντες εἰς συναγωγάς καί φυλακάς, ἀγομένους ἐπί βασιλεῖς καί ἡγεμόνας ἕνεκεν του ὀνόματός μου· ἀποβήσεται δέ ὑμῖν εἰς μαρτύριον. Θέσθε οὖν εἰς τάς καρδίας ὑμῶν μή προμελετᾶν ἀπολογηθῆναι· ἐγώ γάρ δώσω ὑμῖν στόμα καί σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν οὐδέ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν. Παραδοθήσεσθε δέ καί ὑπό γονέων καί συγγενῶν καί φίλων καί ἀδελφῶν· καί θανατώσουσιν ἐξ ὑμῶν, καί ἔσεσθε μισούμενοι ὑπό πάντων διά τό ὄνομά μου· καί θρίξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μή ἀπόληται· ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τάς ψυχάς ὑμῶν.

**Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου...**

**Καί νῦν. Ταῖς τῆς Θεοτόκου...**

**Προσόμοιον.**

**Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.**

**Στίχ. Ἐλέησόν με ὁ Θεός κατά τό μέγα ἔλεός σου...**

Θαύμασι δεδόξασαι, καί δωρεαῖς θεοσδότοις, καί ποικίλαις χάρισι, καί πλείσταις δυνάμεσι τῶν ἰάσεων, Ἀθλητά ἔνδοξε,ὡς λαμπρῶς ἀθλήσας· διά τοῦτο δυσωποῦμέν σε· Ἡμᾶς ἀπάλλαξον, ἐξ ὀδυνηρῶν περιστάσεων, καί πόνων καί κακώσεων, καί ὀλεθροτόκων συμπτώσεων, καί πλημμελημάτων, τήν ἄφεσιν ἐξαίτησαι ἡμῖν, Μηνᾶ τοῖς πόθῳ προστρέχουσι, ταῖς σαῖς ἀντιλήψεσι.

**Ὁ Ἱερεύς. Σῶσον ὁ Θεός τόν λαόν σου...**

**Ὠδή ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.**

Φυγαδεύεις πνευμάτων, ἀκαθάρτων τά σμήνη τῇ ἐπικλήσει σου, καί ἴασιν καί ρῶσιν, καί πᾶσαν ἄλλην δόσιν, ἀγαθήν ὡς φιλάγαθος, ἡμῖν παρέχεις ἀεί, Μηνᾶ θαυματοφόρε.

www.tezaurliturgic.ro

Οἱ κινδύνοις ἐξαίφνης, περιπίπτοντες Μάρτυς τήν σήν ἀντίληψιν, θερμῶς ἐπικαλοῦνται, καί θᾶττον ἐκλυτροῦνται, τῆς δεινῆς περιστάσεως· ὡς θαυμαστή σου Μηνᾶ, ἥν ἐκομίσω χάρις!

Ρῶσιν δίδου σωμάτων, καί ψυχῶν εὐρωστίαν ὡς συμπαθέστατος, ὁμόνοιαν ἐν βίῳ, συγχώρησιν πταισμάτων, καί εἰρήνης εὐστάθειαν, παρά Χριστοῦ τοῦ Θεοῦ, ἡμῖν Μεγαλομάρτυς.

**Θεοτοκίον.**

Εξ ἁγνῶν σου αἱμάτων, ἐν μορφῇ τῇ βροτείᾳ κόσμῳ ἀνέτειλεν, ὁ Ἥλιος τῆς δόξης, Χριστός ὁ φωτοδότης, οὗ ταῖς θείαις ἐλλάμψεσι, καταύγασόν μου τόν νοῦν, Παρθένε Θεοτόκε.

**Ὠδή η΄. Τόν Βασιλέα.**

Τέλως ὁρᾶται, τῇ σῇ θερμῇ προστασίᾳ, ὁ ζητῶν ἀεί καταπιεῖν με δράκων· σύ γάρ τούτου Μάρτυς, τάς μηχανάς συντρίβεις.

Εὔροιμι Μάρτυς, ἐν τῇ ὁδῷ τῇ τοῦ βίου, τήν πρεσβείαν σου σκέπην καί ὁδηγίαν, πρός τήν τῶν κρειττόνων, ἐπίδοσιν ἁγίαν.

Ράβδῳ ἁγίᾳ, τῆς σῆς θερμῆς προστασίας, ἡμᾶς πάντοτε ὁδήγει Ἀθλοφόρε, ἐπί τάς εὐθείας, ὁδούς τῆς σωτηρίας.

**Θεοτοκίον.**

Αγγέλων δόξα, καί σωτηρία ἀνθρώπων, ὑπερένδοξε Ἁγνή Θεοκυῆτορ, σῶσον τούς σούς δούλους, μελλούσης καταδίκης.

**Ὠδή θ΄. Κυρίως Θεοτόκον.**

Συντήρει ἀνωτέρους, ἐχθρῶν ἀοράτων, καί ὁρατῶν τῆς κακίας μακάριε, τούς ἀδιστάκτῳ καρδίᾳ σε μεγαλύνοντας.

Ιάματα βλυστάνων, ὁ σεπτός ναός σου, τάς ἀσθενείας ἰᾶται ἑκάστοτε, καί εὐφροσύνην παρέχει τοῖς σέ γεραίρουσι.

Μεγίστων σέ εἰδότες, αὐτουργόν θαυμάτων, τῇ σῇ προστρέχομεν χάριτι Ἅγιε, ἵνα ρυσθῶμεν κακίας τοῦ πολεμήτορος.

Ο μέγας Ὀρθοδόξων, φύλαξ καί προστάτης, μή διαλίπῃς Μηνᾶ προμηθούμενος, τῶν εὐλαβῶς προσιόντων τῷ θείῳ οἴκῳ σου.

**Θεοτοκίον.**

Υψίστου θεῖε θρόνε, Κεχαριτωμένη, τήν πεπτωκυῖαν ψυχήν μου ἀνύψωσον, πρός ἀναβάσεις Παρθένε ζωῆς τῆς κρείττονος.

**Τό Ἄξιόν ἐστι καί τά μεγαλυνάρια.**

Χαίροις Ἀθλοφόρων κλέος σεπτόν, καί τῆς Ἐκκλησίας ἀπροσμάχητος βοηθός· χαίροις τῶν θαυμάτων, ἀκένωτος χειμάρρους, Μηνᾶ Μεγαλομάρτυς, ἡμῶν ἀντίληψις.

Κόσμου τήν στρατείαν καταλιπών, ὅλῃ τῇ καρδίᾳ, ἠκολούθησας τῷ Χριστῷ, καί τῆς εὐσεβείας, ζωσάμενος τά ὅπλα, καθεῖλες Ἀθλοφόρε, ἐχθρῶν παράταξιν.

Χαίρων ὡμολόγησας τόν Χριστόν, ἐπί δυσσεβούντων, καί ἠγώνισαι καρτερῶς· ὅθεν ἐδοξάσθης, λαμπρῶς Μεγαλομάρτυς, καί μέγας ἀντιλήπτωρ ἡμῶν γεγένησαι.

Χαίροις εὐσεβούντων ὁ ἀρωγός, ρύστης τῶν ἐν θλίψει, καί πασχόντων ὁ βοηθός· χαίροις ὁ προφθάνων, τούς σέ προσκαλουμένους, καί χαλεπῶν κινδύνων, ἡμᾶς ρυόμενος.

Μόνους ἀνυποίστους ὑπενεγκών, πόνων τῶν ἐν βίῳ, ἀναγκῶν τε καί πειρασμῶν, καί παντοίων νόσων, ἀτρώτους ἡμᾶς τήρει, Μηνᾶ τούς σέ προστάτην, θερμόν πλουτήσαντας.

www.tezaurliturgic.ro

Καθ' ὕπαρ καί ὄναρ ὑπερφυῶς, φαινόμενος Μάρτυς, διασώζεις πάντα πιστόν· ὅθεν ἡμᾶς ρύου, τῆς τοῦ ἐχθροῦ μανίας, καί πάσης ἐπηρείας, Μηνᾶ ἑκάστοτε.

**Πᾶσαι τῶν 'Αγγέλων...**

**Τό τρισάγιον, τά συνήθη τροπάρια, ἐκτενής καί ἀπόλυσις, μεθ' ἥν τό ἑξῆς:**

**Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.**

Μέγας ἀντιλήπτωρ καί θερμός, πέλων πρεσβευτής πρός τόν Κτίστην, ὡς συμπαθέστατος, τῶν ὑπό τήν σκέπην σου, καταφευγόντων ἀεί, 'Αθλοφόρε πανθαύμαστε, λυτροῦσαι κινδύνων, ἀναγκῶν καί θλίψεων, καί χαλεπῶν προσβολῶν,βλάβης τοῦ ἐχθροῦ καί μανίας, δυσχερείας πάσης καί λύπης, ἔνδοξε Μηνᾶ τούς σέ γεραίροντας.

**Δέσποινα πρόσδεξαι...**

**Τήν πᾶσαν ἐλπίδα μου...**

**Δίστιχον.**

**'Αεί φύλαξ ἔσο μοι Μηνᾶ παμμάκαρ**
**Γερασίμῳ σπεύδοντι τῇ ἀρωγῇ σου.**



www.tezaurliturgic.ro

# ΟΙΚΟΙ ΕΙΚΟΣΙΤΕΣΣΑΡΕΣ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΜΕΓΑΛΟΜΑΡΤΥΤΑ ΜΗΝΑΝ ΤΟΝ ΘΑΥΜΑΤΟΥΡΓΟΝ.

**Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου.**

Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

Τόν τοῦ Κυρίου εὐκλεῆ Μεγαλομάρτυρα
Καί Ἐκκλησίας τόν προστάτην τόν θερμότατον
Μακαρίζομέν σε πάντες Μηνᾶ παμμάκαρ·
Ἀλλ' ὡς πᾶσι βοηθῶν τοῖς κινδυνεύουσι
Πάσης ρύου συμφορᾶς καί περιστάσεως
Τούς βοῶντάς σοι, χαίροις Μάρτυς πολύαθλε.

Ἄγγελος ἐν ἀθλήσει, ἀληθῶς ἀνεδείχθης, Μηνᾶ ὑπερφυῶς ἐναθλήσας· διό καί ἀξίων ἀμοιβῶν, παρά Χριστοῦ δοξασθείς κατηξίωσαι, δι' ὧν παρέχεις ἅπασι, βοήθειαν τοῖς ἐκβοῶσι.

Χαῖρε δι' οὗ ὁ Χριστός ἐκλάμπει
χαῖρε δι' οὗ ὁ ἐχθρός στενάζει
χαῖρε τῆς Αἰγύπτου ὁ φοῖνιξ ὁ εὔκαρπος
χαῖρε τοῦ Σωτῆρος ὁπλίτης περίδοξος
χαῖρε ὕψος τῆς φρονήσεως ὡς τῶν ἄνω ἐραστής
χαῖρε βάθος θείας γνώσεως ὡς τοῦ Λόγου μιμητής
χαῖρε ὅτι ἀθλήσας τόν Χριστόν μεγαλύνεις
χαῖρε ὅτι νικήσας τόν ἐχθρόν καταισχύνεις
χαῖρε λαμπτήρ ἀθλήσεως πάμφωτος
χαῖρε πυρσός τῆς χάριτος ἄδυτος
χαῖρε δι' οὗ ἡ ἀπάτη τροποῦται
χαῖρε δι' οὗ πᾶς πιστός κραταιοῦται
χαίροις Μάρτυς πολύαθλε.

Βλέπων τῆς ἀσεβείας, τήν ἀχλύν κεχυμένην, ἐμάκρυνας ἐν ὄρεσι φεύγων , στρατείαν, καταλιπών φθαρτήν, καί σεαυτόν πρός ἄθλησιν ἐγύμνασας, νηστείαις καί δεήσεσι, Μηνᾶ σχολάζων καί κραυγάζων.

Ἀλληλούϊα.

Γνῶσιν θείαν πλουτήσας, ἐν σοφίᾳ τῇ ἄνω, αὐτόκλητος Μηνᾶ τῷ σταδίῳ, προσῆλθες καί φωνῇ σταθηρᾷ, τοῦ Χριστοῦ τό ὄνομα ὡμολόγησας· διό τήν παρρησίαν σου, ἀγάμενοι ἀναβοῶμεν·

Χαῖρε ὁ κῆρυξ τῆς εὐσεβείας
χαῖρε ἡ πτῶσις τῆς ἀσεβείας
χαῖρε τοῦ Σωτῆρος κηρύξας τό ὄνομα
χαῖρε τῶν ἀπίστων ἐλέγξας τό φρόνημα
χαῖρε νοῦς ὁ ὑπερκόσμιος ὡς Χριστόν ἐπιποθῶν
χαῖρε ροῦς ὄντως ὁ ἔμπλεως ἐξ ὑδάτων μυστικῶν

www.tezaurliturgic.ro

χαῖρε ὅτι ἠρνήσω τά ἐπίγεια πάντα
χαῖρε ὅτι ἐκτήσω τά οὐράνια ἅμα
χαῖρε φθαρτῆς στρατείας ὑπέρτερος
χαῖρε χοροῦ Ἀγγέλων συμμέτοχος
χαῖρε ἐχθρῶν καταπλήξας τόν δῆμον
χαῖρε πιστούς συγκινήσας πρός ὕμνον
χαίροις Μάρτυς πολύαθλε.

Δόξαν τήν τοῦ Σωτῆρος, ἐν δυνάμει ἁγία, κηρύξας εὐθαρσῶς Ἀθλοφόρε, εἰδώλων τήν ἀπάτην τρανῶς, τῇ ἀνενδότῳ στάσει ἐθριάμβευσας, καί αἶνον χαριστήριον, Μηνᾶ προσῆδες τῷ Κυρίῳ.

**Ἀλληλούϊα.**

Ἐνεός τοῖς σοῖς λόγοις, καί ἐμβρόντητος ὤφθη, ὁ ἄρχων τῆς ἀπάτης θεόφρον, καί κολακείαις σε καί ποιναῖς, ἐπειρᾶτο τοῦ Χριστοῦ ἀποστῆσαί σε· ἡμεῖς δέ τούς ἀγῶνάς σου, γεραίροντες ἀναβοῶμεν·

Χαῖρε τό στόμα τῆς παρρησίας
χαῖρε ἀδάμας τῆς εὐανδρίας
χαῖρε τήν στρατείαν λιπών τήν ἐπίγειον
χαῖρε τήν πορείαν δραμών τήν ἐπίπονον
χαῖρε τήν κέδρος ἡ στερέμνιος ἐν δεινῶν ἐπιφοραῖς
χαῖρε τεῖχος τό ἀτίνακτον ἀπειλῶν ταῖς προσβολαῖς
χαῖρε ὅτι τῆς πλάνης τήν ἀπάτην καθεῖλες
χαῖρε ὅτι τό μένος τοῦς Βελίαρ ἀνεῖλες
χαῖρε Χριστοῦ στρατιῶτα ἄριστε
χαῖρε κλεινέ Ἀθλοφόρε ἅγιε
χαῖρε εἰκών ἀρραγοῦς καρτερίας
χαῖρε λειμών εὐανθής εὐσεβείας
χαίροις Μάρτυς πολύαθλε.

Ζέοντι ὑπερζέσας, ἐν θυμῷ ὁ διώκτης, πικραῖς σε ὑποβάλλει αἰκίαις, μή εἰδώς τήν ἐν σοί θαυμαστῶς, ἐνεργοῦσαν τοῦ Χριστοῦ θείαν δύναμιν, δι' ἧς πάντων ἀνάλωτος, μάρτυς Μηνᾶ ὤφθης κραυγάζων·

**Ἀλληλούϊα.**

Ἤνεγκας ἀνενδότως, τάς στρεβλώσεις θεόφρον, νευρούμενος ἀγάπῃ τῇ θείᾳ· καί πρός τό ἔδαφος τανυσθείς,ὠμοῖς βουνεύροις ἐξάνθης τό σῶμά σου, ἐκπλήττων τῇ ἀνδρείᾳ σου, τούς ἐκβοῶντάς σοι τοιαῦτα·

χαῖρε ἡ πέτρα τῆς καρτερίας
χαῖρε ἡ στήλη τῆς εὐψυχίας
χαῖρε τῶν βουνεύρων ἐνέγκας τήν κάκωσιν
χαῖρε τῶν εἰδώλων αἰσχύνας τήν πλάνησιν
χαῖρε πύργος ἑδραιότατος Ἐκκλησίας τοῦ Χριστοῦ
χαῖρε μάχαιρα ἡ τέμνουσα ἐπινοίας τοῦ ἐχθροῦ
χαῖρε ὅτι τούς ὅρους τούς φθαρτούς ὑπερέβης
χαῖρε ὅτι ἐν πόνοις ἀκατάβλητος ἔστης
χαῖρε μορφή σεπτή καί αἰδέσιμος
χαῖρε φωτός τῆς χάριτος ἔμπλεως
χαῖρε Χριστοῦ ὁ ζηλώσας τό πάθος
χαῖρε ἐχθροῦ ὁ νεκρώσας τό κράτος
χαίροις Μάρτυς πολύαθλε.

Θώρακα ἀληθείας, ἐνδυσάμενος Μάρτυς, ἀκλόνητος ἐν πᾶσιν ὡράθης, καί ἐν μάστιξιν ὀδυνηραῖς, δοκιμασθείς τόν ἐχθρόν ἐτραυμάτισας, καί ἐν στερρῷ φρονήματι, τῷ σέ δυναμοῦντι ἐβόας·

**Ἀλληλούϊα.**

Ἴσχυσας ἐν Κυρίῳ, ὑπομεῖναι ἀνδρείως, ἀνάρτησιν Μηνᾶ ἐν ἰκρίῳ· ἔνθεν τῶν τοῦ Σωτῆρος παθῶν, κοινωνός Ἀθλοφόρε ἐχρημάτισας, παιδεύων πρός τά κρείττονα, τούς ἐκβοῶντάς σοι τοιαῦτα·

Χαῖρε ἀνδρείας ὁ ἔμπνους τύπος

www.tezaurliturgic.ro

χαῖρε σοφίας πάμφωτος λύχνος
χαῖρε μιμητά τῶν παθῶν τοῦ Παντάνακτος
χαῖρε κοινωνέ δωρημάτων τῆς χάριτος
χαῖρε πύργος ἀρραγέστατος εὐσταθείας ψυχικῆς
χαῖρε ἄστρον φαεινότατον εὐκληρίας θεϊκῆς
χαῖρε ὅτι ἀνδρείως ἀνηρτήθης ἐν ξύλῳ
χαῖρε ὅτι τελείως ἐνεκρώθης ἐν κόσμῳ
χαῖρε βελῶν τοῦ Βελίαρ σύντριψις
χαῖρε πιστῶν ἐν πόνοις ἐνίσχυσις
χαῖρε Χριστοῦ τῶν παθῶν κοινωνήσας
χαῖρε ἐχθροῦ τάς δυνάμεις συντρίψας
χαίροις Μάρτυς πολύαθλε.

Κρεμασθείς ἐν ἰκρίῳ, σιδηρῶν ὑπ' ὀνύχων, ἐξέσθης ἀπηνῶς τό σαρκίον, δι' οὗ τούς χιτῶνας τῆς φθορᾶς, ἀποβαλών ἀθανασίας ἔνδυμα, ἠμφίεσαι ἐν Πνεύματι, Μηνᾶ τῷ Κυρίῳ κραυγάζων·

**᾿Αλληλούϊα.**

Λάμπων τῇ καρτερίᾳ ὡς ὁπλίτης Κυρίου, καί θείᾳ ᾿Αθλητά χορηγίᾳ, οὐκ ᾐσθάνου πόνων τῶν πικρῶν, ἐκτριβομένου ράκεσι τοῦ σώματος· διό τήν καρτερίαν σου, Μηνᾶ θαυμάζοντες βοῶμεν·

Χαῖρε ἀνάλωτος ἐν βασάνοις
χαῖρε ἀήττητος ἐν τοῖς ἄθλοις
χαῖρε ᾿Αθλοφόρε Χριστοῦ πολυθαύμαστε
χαῖρε ᾿Ασωμάτων ᾿Αγγέλων ἐφάμιλλε
χαῖρε νίκην ὁ ἀράμενος κατ' ἐχθρῶν περιφανῆ
χαῖρε λέσχην λύσας ἅπασαν πλάνης τήν ἀσυμφανῆ
χαῖρε ὅτι τάς σάρκας ἀπηνῶς κατεξέσθης
χαῖρε ὅτι λαμπάσι τάς πληγάς κατεφλέχθης
χαῖρε Χριστοῦ ὁπλίτης ἀήττητος
χαῖρε πιστῶν λιμήν ὁ ἀχείμαστος
χαῖρε ἐχθρῶν καταπλήξας τάς φρένας
χαῖρε δεινάς ἀποτρέπων ἐνέδρας
χαίροις Μάρτυς πολύαθλε.

Μέγας ἐν τοῖς ἀγῶσι, καί ἀήττητος ὤφθης, φωτός ἐνδεδυμένος τά ὅπλα, καί τοῦ σκότους τάς ἀρχάς ἑλών, πρός τό φῶς ἀνέδραμες τό ἀνέσπερον, θέσει Μηνᾶ θεούμενος, καί τῇ Τριάδι ἀεί ψάλλων·

**᾿Αλληλούϊα.**

Νόμοις τῆς εὐσεβείας, τήν καρδίαν τειχίσας, ἐν πᾶσιν ὑπερίσχυσας Μάρτυς, καί καθελών ἐχθρῶν τήν ἰσχύν, τῆς θείας ἀγάπης τό κράτος ἔδειξας, πρός ἣν ἐκκαίεις ἅπαντας, τούς ὁμοφώνως σοι βοῶντας·

Χαῖρε ὁ ἄνθραξ ἀγάπης θείας
χαῖρε τό κρίνον τῆς ἀφθαρσίας
χαῖρε εὐσεβείας τρανώσας τήν δύναμιν
χαῖρε ἀσεβείας ἐκλύσας τήν σύμπηξιν
χαῖρε βότρυς ὁ γλυκύτατος τῆς ἀμπέλου τῆς ζωῆς
χαῖρε ὅρπηξ εὐθαλέστατος τῆς ἀθλητικῆς ροπῆς
χαῖρε ὅτι ἀνδρείως τόν ἀγῶνα ἀνύεις
χαῖρε ὅτι τό θράσος τοῦ δολίου ἐκλύεις
χαῖρε κλεινῶν Μαρτύρων ὡράϊσμα
χαῖρε πιστῶν τό θεῖον ἀγλάϊσμα
χαῖρε Μηνᾶ ᾿Αθλητά νικηφόρε
χαῖρε Χριστοῦ θαυμαστέ ᾿Αθλοφόρε
χαίροις Μάρτυς πολύαθλε.

Ξένους ἄθλους ἀνύσας, ἀηττήτῳ καρδίᾳ, ξενίζεις τήν Χριστοῦ ᾿Εκκλησίαν, τῇ σοί δοθείσῃ παρά Χριστοῦ, πλουσιωτάτῃ ᾿Αθλοφόρε χάριτι· ὅτι προφθάνεις πάντοτε, τούς καλοῦντάς σε καί βοῶντας·

www.tezaurliturgic.ro

Ἀλληλούϊα.

Ὅλον ἔχων τόν πόθον, πρός Χριστόν Ἀθλοφόρε, ὑπέστης τήν τομήν τοῦ αὐχένος, καί νικηφόρος πρός οὐρανῶν, τά ἀείζωα ἀνῆλθες σκηνώματα, χάριν βλύζων καί ἔλεος, Μηνᾶ τοῖς πόθῳ σοι βοῶσι·

Χαῖρε Μαρτύρων μέγιστον κλέος
χαῖρε ἁπάντων πιστῶν τό σθένος
χαῖρε τῶν θαυμάτων τήν χάριν δεξάμενος
χαῖρε τῶν δαιμόνων τήν πλάνην τρεψάμενος
χαῖρε ρεῖθρον διειδέστατον σωτηρίου ἐκ πηγῆς
χαῖρε δρόσος θεοδώρητος εὐφροσύνης ψυχικῆς
χαῖρε ὅτι προφθάνεις τούς θερμῶς σε καλοῦντας
χαῖρε ὅτι λυτροῦσαι τούς ἐν πόνοις τελοῦντας
χαῖρε Χριστοῦ ὁρῶν τήν λαμπρότητα
χαῖρε ἐχθροῦ σοβῶν τήν κακότητα
χαῖρε ζωῆς ἀπολαύων τοῦ ξύλου
χαῖρε φωτός ἐντρυφῶν πανολβίου
χαίροις Μάρτυς πολύαθλε.

Παραδόξως ἐπώφθης, οἷάπερ στρατιώτης, φονεῖ τῷ ξενοδόχῳ θεόφρον, καί τόν νεκρωθέντα ὑπ' αὐτοῦ, θαυμαστῶς Ἀθλοφόρε ἀνεζώωσας· διό τό μεγαλεῖον σου, θαυμάζοντες Θεῷ βοῶμεν·

Ἀλληλούϊα.

Ρήμασί σου ἁγίοις, εἴξαντες Ἀθλοφόρε, μετήνεγκαν τό θεῖόν σου σῶμα, εἰς Αἴγυπτον πιστοί εὐλαβῶς, ἁγιασμόν βλύζον καί χάριν ἄφθονον, τοῖς πίστει καταφεύγουσι, καί ἐκβοῶσί σοι τοιαῦτα·

Χαῖρε ἡ βάσις τῆς Ἐκκλησίας
χαῖρε ἡ λύσις τῆς ἀθυμίας
χαῖρε τῆς Αἰγύπτου βλαστός εὐθαλέστατος
χαῖρε Κοτυαίου φρουρός ἀσφαλέστατος
χαῖρε στήριγμα ἀκράδαντον εὐσεβῶν Χριστιανῶν
χαῖρε τρύφημα οὐράνιον τεθλιμμένων καρδιῶν
χαῖρε ὅτι τόν πρῴην νεκρωθέντα ἐγείρεις
χαῖρε ὅτι ἐν τούτῳ τόν φονέα ἐκπλήττεις
χαῖρε πηγή θαυμάτων ἀκένωτος
χαῖρε πολλῶν χαρίτων ἀνάπλεως
χαῖρε πιστῶν ἐκπληρῶν τάς αἰτήσεις
χαῖρε ἡμῖν χορηγῶν θείας δόσεις
χαίροις Μάρτυς πολύαθλε.

Σύντρομος ἐγεγόνει, ὅτε ἔβλεψε ζῶντα, τόν δοῦλον ὅν ὁ ἄρχων ἐθρήνει· ἐν ριπῇ γάρ Μηνᾶ ἐπιστάς, σύν τοῖς σοῖς συναθληταῖς τοῦτον ἥρπασας, ἐκ τοῦ βυθοῦ τῆς θαλάσσης, τόν δίσκον κρατοῦντα καί βοῶντα·

Ἀλληλούϊα.

Τόν ναόν σου τόν θεῖον, ὡς σωτήριον ὅρμον, εὑρόντες οἱ πιστοί Ἀθλοφόρε, ἐν πάσῃ ἀνάγκῃ πρός αὐτόν, προσιόντες τρυφῶμεν τῆς σῆς χάριτος, καί τῶν δεινῶν λυτρούμενοι, εὐγνωμόνως σοι ἐκβοῶμεν·

Χαῖρε ὁ μέγας ἐν θαυμασίοις
χαῖρε ὁ ἔνδοξος ἐν Ἁγίοις
χαῖρε ὁ τόν δοῦλον πνιγμονῆς ρυσάμενος
χαῖρε ὁ καί ὄναρ καί ὕπαρ φαινόμενος
χαῖρε ἔργων τῶν τῆς χάριτος αὐτουργός περιφανής
χαῖρε πάντων τῶν ἐν θλίψεσι βοηθός καί λυτρωτής
χαῖρε ὅτι ταχέως τοῖς καλοῦσί σε σπεύδεις
χαῖρε ὅτι τοῖς πᾶσι σωτηρίαν παρέχεις
χαῖρε πιστοῦ γυναίου διάσωσις

www.tezaurliturgic.ro

χαῖρε ἀνδρός ἐκτρόπου σωφρόνησις
χαῖρε πιστῶν περιλάλητον εὖχος
χαῖρε ἡμῶν θεοβράβευτον ἔρκος
χαίροις Μάρτυς πολύαθλε.

Ὕμνοις σου τούς ἀγῶνας, καί θαυμάτων τήν χάριν, ὑμνοῦμεν Μηνᾶ Μεγαλομάρτυς· ἀλλ' ὡς πάντων θερμός ἀρωγός, δίδου ἀεί ἡμῖν τήν σήν βοήθειαν· ἰδού γάρ τῇ πρεσβείᾳ σου, προστρέχομεν Θεῷ βοῶντες·

Ἀλληλούϊα.

Φῶς τό ἄϋλον βλέπων, τῆς Ἁγίας Τριάδος, καί κάλλος τό ἀμήχανον μάρτυς, μή παύσῃ ἐφορῶν καί φρουρῶν, τούς τῷ ἁγίῳ ναῷ σου προστρέχοντας, καί πάντων πλήρου Ἅγιε, τά αἰτήματα τῶν βοώντων·

χαιρε πιστῶν ὁ μέγας προστάτης
χαῖρε Κυρίου ὁ παραστάτης
χαῖρε γυναικός τῆς ἀλάλου ἡ ἴασις
χαῖρε ἀσθενῶν ταχεῖα ἐπίσκεψις
χαῖρε ὅτι σφαγῆς ἔσωσας Ἡρακλείου τόν λαόν
χαῖρε ὅτι ἄρδην ἔτρεψας τόν πολέμιον ἐχθρόν
χαῖρε ὁ παραδόξως τόν χωλόν θεραπεύσας
χαῖρε ὁ κατά κράτος τόν ἐχθρόν ἀνατρέψας
χαῖρε Χριστοῦ σεπτόν καλλιέργημα
χαῖρε πιστῶν ἐν πᾶσι μελέτημα
χαῖρε δι' οὗ οἱ ἐχθροί ἐκπορθοῦνται
χαῖρε δι' οὗ οἱ πιστοί φωταυγοῦνται
χαίροις Μάρτυς πολύαθλε.

Χαίρων ἐν τοῖς ὑψίστοις, σύν Ἁγίων τοῖς δήμοις, χαράν τήν ἀνεκλάλητον Μάρτυς, πάσης λύπης καί ἀθυμίας, τήν ὁμίχλην ἐξ ἡμῶν ἀποδίωκε, Μηνᾶ τῇ ἀντιλήψει σου, ὡς ἄν πάντες Θεῷ βοῶμεν·

Ἀλληλούϊα.

Ψυχικήν σωτηρίαν, καί παθῶν θεραπείαν, καί πᾶσαν ἀγαθῶν εὐπορίαν, ἐξαίτει ἡμῖν παρά Χριστοῦ, τοῖς τῷ σεπτῷ σου ναῷ Μηνᾶ σπεύδουσι, καί τήν σεπήν σου ἄθλησιν, γεραίρουσι καί ἐκβοῶσι·

Χαῖρε τό κλέος τῶν Ἀθλοφόρων
χαῖρε τό γέρας τῶν Ὀρθοδόξων
χαῖρε παροχεῦ δαψιλῶν ἀντιλήψεων
χαῖρε ὁ δοτήρ σωτηρίων ἰάσεων
χαῖρε πρέσβυς ἑτοιμότατος εὐσεβῶν πρός τόν Χριστόν
χαῖρε βέλος καιριώτατον κατ' ἐχθρῶν τῶν δυσμενῶν
χαῖρε ἡ εὐκοσμία τοῦ ἁγίου ναοῦ σου
χαῖρε ἡ θυμηδία τοῦ πιστοῦ νῦν λαοῦ σου
χαῖρε δι' οὗ πταισμάτων ρυσθήσομαι
χαῖρε δι' οὗ φωτός ἐμπλησθήσομαι
χαῖρε πιστῶν ἀρωγός καί συλλήπτωρ
χαῖρε καμοῦ ἐν παντί ἀντιλήπτωρ
χαίροις Μάρτυς πολύαθλε.

Ὦ Μαρτύρων λαμπρότης, στρατιῶτα Κυρίου, Μηνᾶ τῶν εὐσεβούντων προστάτης (ἐκ γ΄.) προστατεύων μή παύσῃ ἀεί, τῶν προσιόντων ταῖς σαῖς ἀντιλήψεσι, καί φωνήν τήν ἱκέσιον δέχου τῶν εὐλαβῶς βοώντων·

Ἀλληλούϊα.

**Καί αὖθις τό Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.**

Τόν τοῦ Κυρίου εὐκλεῆ Μεγαλομάρτυρα
Καί Ἐκκλησίας τόν προστάτην τόν θερμότατον
Μακαρίζομέν σε πάντες Μηνᾶ παμμάκαρ·
Ἀλλ' ὡς πᾶσι βοηθῶν τοῖς κινδυνεύουσι
Πάσης ρύου συμφορᾶς καί περιστάσεως
Τούς βοῶντάς σοι, χαίροις Μάρτυς πολύαθλε.

**Δίστιχον.**

Χαῖρέ σοι κραυγάζοντι Μηνᾶ τρισμάκαρ
Γερασίμῳ πάρεχε τήν ἀρωγήν σου.